Ἵνα τις ἀπολαύῃ παρὰ τοῖς Βυζαντίοις τῶν δικαιωμάτων τοῦ πολίτου ἔδει νὰ ᾖ ἀστὸς καὶ ἐκ πατρὸς καὶ ἐκ μητρός. Τὸν νόμον τοῦτον παρέλαβον πιθανώτατα ἐκ τῆς Ἀθηναϊκῆς πολιτείας, παρ' ἧς εἶχε θεσπισθῇ, τῇ προτάσει τοῦ Περικλέους, περὶ τὸ 451 π. χ., ὅτι ἀπεκλείετο τῆς συμμετοχῆς εἰς τὰ τῆς πόλεως «ὃς ἂν μὴ ἐξ ἀμφοῖν ἀστοῖν ᾖ γεγονώς[10]». Παρομοία διάταξις ὑπῆρχεν εἰς Ὠρεούς[11], ὡς καὶ εἰς τὴν Ῥόδον, Ἁλικαρνασὸν καὶ τὰς Ἐρυθράς[12]. Ἀλλ' οἱ Βυζάντιοι, πρὸς ἱκανοποίησιν χρηματικῶν ἀναγκῶν, ἔκαμψαν τὴν αὐστηρότητα τῆς διατάξεως, ψηφίσαντες, ὅτι καὶ ὁ πατρόθεν ἢ μητρόθεν μόνον ἀστὸς καθίσταται πολίτης, καταβάλλων μνᾶς τριάκοντα[13]. Καὶ ἐν Ἀθήναις ἐκ λόγων σκοπιμότητος ἀπὸ τῆς ἐποχῆς τοῦ Κλεισθένους φαίνεται ὅτι ἐθεωρεῖτο ἀρκοῦν διὰ νὰ καταριθμηθῇ τις μεταξὺ τῶν πολιτῶν νὰ εἶναι ὡς πρὸς τὸν ἕνα τῶν γονέων ἀστός[14].—Πρὸς τούτοις ἐν Βυζαντίῳ εὑρίσκομεν ἐγκαθισταμένην τὴν μονοπωλίαν τῆς ἁλιείας καὶ παραχωρουμένην εἰς σωματεῖον[15].

9. Ἀριστοτ. Οἰκονομ. Β, 6.

10. Ἀριστοτ. Ἀθην. Πολιτ. 26.— Πλουτάρχ. Περικλῆς... «...νόμον ἔγραψε μόνους Ἀθηναίους εἶναι τοὺς ἐκ δυοῖν Ἀθηναίοιν γεγονότας».—Πρβ. καὶ Γ. Σωτηριάδου Ἱστορία τῆς ἀρχαιότητος σ. 162.

11. Δημοσθ. XXIII (κατὰ Ἀριστοκράτους) 691.

12. K. Hermanns Lehrbuch der Griech. Antiq. Τόμ. Α' Τεῦχ. Γ' (ἔκδοσις Swoboda) σ. 17.

13. Ἀριστ. Οἰκον. Β. 6 «Ὄντος δὲ νόμου αὐτοῖς μὴ εἶναι πολίτην ὃς ἂν μὴ ἐξ ἀστῶν ἀμφοτέρων ᾖ, χρημάτων δεηθέντες, ἐψηφίσαντο τὸν ἐξ ἑνὸς ὄντα αὐτῶν, καταβαλόντα μνᾶς τριάκοντα εἶναι πολίτην...».

14. Gilbert—Πολίτου σ. 185.

15. Πρβ. Α. Ἀνδρεάδου Σύστημα Δημ. Οἰκον. Τόμ. Α' Μέρος Β' σ. 130.

Τὸ ξύρεσθαι ἐν τῷ ἀρχαίῳ Βυζαντίῳ ἀπηγορεύετο, ἐπεβάλλετο δὲ ποινὴ καὶ εἰς τὸν ἔχοντα ξυρὸν κουρέα. Ἐν τούτοις τὴν διάταξιν ταύτην οὐδέποτε ἐτήρησαν οἱ Βυζάντιοι, καθὰ ἱστορεῖ ὁ φιλόσοφος Χρύσιππος ἐν τῷ συγγράμματι αὐτοῦ περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς κατ' ἀπόσπασμα σωζόμενον παρ' Ἀθηναίῳ[16], παρ' οὗ ὡσαύτως πληροφορούμεθα, ὅτι τοιοῦτος νόμος ἦτο καὶ ἐν Ῥόδῳ, μὴ παρακωλύσας ὅμως οὐδένα ἀπὸ τοῦ ξύρεσθαι.

16. Ἀθην. Δειπν. ΙΓ, 18 «Λέγει δὲ οὗτος ὁ φιλόσοφος... ἐν Βυζαντίῳ δὲ ζημίας ἐπικειμένης τῷ ἔχοντι ξυρόν, οὐδὲν ἧττον πάντες χρῶνται αὐτῷ»... «Ἐν Ῥόδῳ δὲ νόμου ὄντος μὴ ξύρεσθαι, οὐδ' ὁ ἐπιληψόμενος οὐδείς ἐστι διὰ τὸ πάντας ξύρεσθαι».

ΠΑΡΑΡΤΗΜΑ

ΑΡΧΑΙΑΙ ΕΠΙΓΡΑΦΑΙ ΘΡΑΚΗΣ

ΣΥΝΑΓΩΓΗ

ΑΡΧΑΙΩΝ ΕΠΙΓΡΑΦΩΝ ΘΡΑΚΗΣ[α]

Α. Τῶν πρὸς τὸ Αἰγαῖον πόλεων

α΄) ΑΒΔΗΡΩΝ

(Ἐδημοσιεύθη εἰς Β. C. H. 37 (1913) σ. 123)

[Νομοφυλάκων· ἐπειδὴ Φίλων Πύθωνος Ἀκανθέως]
σπεύδων ἀεί τινος ἀγαθοῦ παραίτιος γίνεται
καὶ κοινῇ τῇ πόλει καὶ τοῖς κατ᾽ ἰδίαν ἐντυγχάνου-
σι τῶν πολιτῶν, ἀποδεικνύμενος ἐν παντὶ καιρῷ
τὴν καθ᾽ αὑτὸν εὔνοιαν, ἣν ἔχων διατελεῖ πρὸς
τὸν δῆμον ἡμῶν, καθῆκον δέ ἐστιν καὶ τὸν ἡμέ-
τερον δῆμον μνημονεύοντα τῶν ὑπ᾽ αὐτοῦ γε-
γενημένων εὐεργεσιῶν ἀμείβεσθαι ταῖς κα-
ταξίαις τιμαῖς, ἵνα καὶ οἱ λοιποί, θεωροῦντες
τὴν τοῦ δήμου σπουδὴν ἐπὶ τῷ μὴ λείπεσθαι
ἐν χάριτος ἀποδόσει φιλοτιμοτέρους ἑαυ-
τοὺς παρέχωνται εἰς τὰ συνφέροντα τῇ πόλει
ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ ἐπῃνῆσθαι Φί-
λωνα Πύθωνος Ἀκάνθιον ἐπὶ τῇ εὐνοίᾳ καὶ
τῇ αἱρέσει, ἣ ἔχων διατελεῖ πρὸς τὸν δῆμον ἡ-
μῶν, εἶναι δὲ αὐτὸν πρόξενον τῆς πόλεως ἡ-
μῶν καὶ δεδόσθαι αὐτῷ ἔφοδον ἐπί τε βουλὴν
καὶ τὸν δῆμον πρώτῳ μετὰ τὰ ἱερά, καὶ εἰσπλουν
καὶ ἔκπλουν καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ ἀσυλεὶ
καὶ ἀσπονδεί, ὑπάρχειν δὲ αὐτῷ καὶ πολιτείαν,
καλεῖσθαι δὲ αὐτόν, ἕως ἂν ζῇ καὶ εἰς προε-
δρίαν κατ᾽ ἐνιαυτόν, καὶ στεφανοῦσθαι ἐν

α) Αἱ ἐπιγραφαὶ ἀντιγράφονται διὰ μικρῶν στοιχείων καὶ οὐχὶ διὰ τῶν ἐν αὐταῖς ἐπιγραφικῶν χαρακτήρων ἕνεκεν δυσπερβλήτων δυσχερειῶν.

τῷ θεάτρῳ ἐς ἀεὶ Διονυσίων τῷ ἀγῶνι χρυσῷ στεφάνῳ, τὴν ἀναγγελίαν ποιουμένου τοῦ ἱεροκήρυκος τήνδε· ὁ δῆμος στεφανοῖ Φίλωνα Πύθωνος Ἀκάνθιον χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς ἑαυτόν. Τὸ δὲ ψήφισμα τόδε ἀναγραψάτωσαν οἱ νομοφύλακες εἰς τὸ ἱερὸν τοῦ Διονύσου, οὗ καὶ τῶν ἄλλων προξένων ἀναγεγραμμέναι τιμαὶ εἰσίν· τὸ δὲ γενόμενον ἀνάλωμα εἰς ταῦτα δότωσαν ἀπὸ τῶν εἰς τὰς θυσίας. Ἵνα δὲ ὁ δῆμος ὁ Ἀκανθίων ἐπιγνῷ τὴν τοῦ δήμου εὐχαριστίαν, οἱ νομοφύλακες ἐλέσθωσαν πρεσβείαν πρὸς Ἀκανθίους τὴν ἀποίσουσαν τὸ ψήφισμα πρὸς αὐτοὺς καὶ παρακαλέσουσαν, ὅπως τάξαντες τὸ ψήφισμα εἰς τὰ παρ' ἑαυτοῖς δημόσια ἀναγράψωσιν καὶ θῶσιν εἰς τὸν ἐπιφανέστατον τόπον τῆς ἀγορᾶς. Τὸ δὲ ψήφισμα τόδε εἶναι εἰς εὐχαριστίαν. τῶν εὐνοούντων τῷ δήμῳ.

2. (Ἐδημοσιεύθη εἰς B. C. H. 37 (1913) σ. 124—125)

Νομοφυλάκων· ἐπειδὴ Μάρκος Οὐάλλιος Μάρκου υἱὸς Ῥωμαῖος, ἀνὴρ καλὸς καὶ ἀγαθὸς ὑπάρχων καὶ εὔνους τῷ δήμῳ, ἀεί τινος ἀγαθοῦ παραίτιος γίνεται καὶ κοινῇ καὶ κατ' ἰδίαν τοῖς ἐντυχάνουσι τῶν πολιτῶν, ἀπροφασίστως ἑαυτὸν ἐπιδιδοὺς διὰ παντὸς εἰς τὰ παρακαλούμενα, ἐνδημήσας τε εἰς τὴν πόλιν ἡμῶν πλεονάκις τήν τε ἀναστροφὴν πεποίηται καὶ τὴν ἐνδημίαν εὐσχήμονα καὶ πρέπουσαν ἀνδρὶ καλῷ καὶ ἀγαθῷ καὶ ἀξίαν τῆς τε ἡμετέρας πόλεως καὶ τοῦ δήμου τοῦ Ῥωμαίων, καὶ εὔχρηστον ἑαυτὸν παρέσχετο εἰς πάντα τὰ τῷ δήμῳ συμφέροντα, ἵνα οὖν καὶ ὁ δῆμος εὔπιστος ὢν φαίνηται καὶ τιμῶν τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν, ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ· ἐπῃνῆσθαι Μάρκον Οὐάλλιον Μάρκου υἱὸν Ῥωμαῖον ἐπὶ τῇ πρὸς τὸν δῆμον

εὐνοίᾳ, ἣν ἔχων διατελεῖ, καὶ εἶναι αὐτῷ ἔφοδον ἐπί τε βουλὴν καὶ τὸν δῆμον μετὰ τὰ ἱερὰ πρώτῳ, καλεῖσθαι δὲ αὐτὸν καὶ εἰς προεδρίαν ἕως ἂν ζῇ Διονυσίων τῷ ἀγῶνι κατ' ἐνιαυτὸν καὶ στεφανοῦσθαι χρυσῷ στεφάνῳ, τὴν ἀναγγελίαν ποιουμένου τοῦ ἱεροκήρυκος τήνδε· ὁ δῆμος στεφανοῖ Μάρκον Οὐάλλιον Μάρκου υἱὸν Ῥωμαῖον χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς ἑαυτόν· δεδόσθαι δὲ αὐτῷ καὶ ἀτέλειαν μετὰ ἱερέα Διόνυσον ὧν ἂν ἐξάγῃ ἢ εἰσάγῃ εἰς τὴν ἰδίαν χρείαν καὶ κατ' ἐμπορίαν, δεδόσθαι δὲ αὐτῷ καὶ ἐξαγωγὴν σίτου εἰς τὴν ἰδίαν χρείαν κατ' ἐνιαυτὸν ἕως μεδίμνων ἑκατόν· ἀναγράψατωσαν δὲ οἱ νομοφύλακες οἱ ἐπὶ ἱερέως Διονύσου τόδε τὸ ψήφισμα εἰς τὸ ἱερὸν τοῦ Διονύσου εἰς τὸν ἐπιφανέστατον τόπον.

3. (Ἐδημοσιεύθη εἰς B. C. H. 37 (1913) σ. 127)

Νομοφυλάκων· ἐπειδὴ Γάϊος Ἀπούστιος Μάρκου υἱὸς Ῥωμαῖος τὴν πλείστην ποιεῖται τῷ δήμῳ ἀπόδειξιν ἀρετῆς τε καὶ διαλήψεως —— ἐν παντὶ τῇ πόλει συμφέροντι, ὑπάρχων δὲ καὶ ἀνὴρ καλὸς καὶ ἀγαθὸς περὶ τὸν δῆμον ἡμῶν ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ ἀπροφασίστως ἑαυτὸν παρέχεται εὐεργέτην καὶ κοινῇ καὶ κατ' ἰδίαν πρὸς τοὺς ἐντυχάνοντας τῶν πολιτῶν ——————— ἐν ᾧ συντηρεῖται ἡμῶν —— καὶ ποιεῖται ἀπόδειξιν τῆς πρὸς τὸν δῆμον εὐνοίας, τήν τε ἀναστροφὴν καὶ ἐνδημίαν, πολλάκις ἐνδημήσας, πεποίηται καλὴν καὶ εὔτακτον καὶ σώφρονα· ὅπως οὖν καὶ ὁ δῆμος εὐχάριστος ὢν φαίνηται καὶ τιμῶν τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ· ἐπῃνῆσθαι Γάϊον Ἀπούστιον Μάρκου υἱὸν Ῥωμαῖον ἐπὶ τῇ αἱρέσει, ἣν ἔχων πρὸς τὸν δῆμον ἡμῶν διατελεῖ καὶ ἐπὶ τῷ πεποιῆσθαι τὴν ἐνδημίαν καλὴν καὶ εὐσχήμονα καὶ ἀξίαν τοῦ δήμου τῶν Ῥωμαίων καὶ τῆς ἡμετέρας πόλεως, ἐπῃνῆσθαι δὲ καὶ τὸν υἱὸν αὐτοῦ Μάρκον Ἀπούστιον Γαΐου υἱὸν Ῥωμαῖον ἐπὶ τῷ ἔχειν τὴν αὐτὴν ἀρετήν, καλεῖσθαι δὲ αὐτοὺς καὶ εἰς προεδρίαν Διονυσίων τῷ ἀγῶνι, ἀναγγέλλοντος τοῦ ἱεροκήρυκος, καὶ στεφα-

SISMANOGLIO MUSEUM

νοῦσθαι χρυσῷ στεφάνῳ αὐτόν, τὴν ἀναγγελίαν ποιουμένου τοῦ ἱεροκήρυκος τήνδε· ὁ δῆμος στεφανοῖ Γάϊον Ἀπούστιον Μάρκου υἱὸν Ῥωμαῖον χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς ἑαυτὸν — — — — ὡς δὲ καὶ τὸν υἱὸν αὐτοῦ Μάρκον Ἀπούστιον Γαΐου υἱὸν Ῥωμαῖον, τὴν ἀναγγελίαν ποιουμένου τοῦ ἱεροκήρυκος καθότι προγέγραπται· ποιεῖσθαι δὲ τὸν δῆμον εἰκόνα χαλκῆν, ἐπίχρυσον Γαΐου Ἀπουστίου Μάρκου υἱοῦ Ῥωμαίου ἀπὸ ἀλεξανδρείων διακοσίων — — τοὺς δὲ στεφάνους ἀναθέτωσαν οἱ νομοφύλακες εἰς τὸ ἱερόν· παρὰ τὸν στέφανον τῶν Σωτηρίχου, χορηγήσαντος δὲ τὸ γενόμενον ἀνάλωμα τοῦ ἐπὶ τῶν χρημάτων — — κομισθέντος δὲ τοῦ ἀργυρίου ἀπὸ τῶν πεσουμένων — — τὴν δὲ εἰκόνα ἀναθέτωσαν ἐν Θεσσαλονικείῳ, ἐν τῷ ἐπιφανεστάτῳ τόπῳ, ἔχουσαν ἐπιγραφὴν τήνδε· ὁ δῆμος Ἀβδηριτῶν Γάϊον Ἀπούστιον Μάρκου υἱὸν Ῥωμαῖον, παραίτιον γενόμενον τῆς ἐλευθερίας τῇ πόλει ἡμῶν καὶ τῶν χρειῶν παρασχεθεισῶν ἡμεῖν· δεδόσθαι δὲ αὐτοῖς καὶ πολιτείαν καὶ εἴσπλουν καὶ ἔκπλουν εἰς τοὺς λιμένας ἀσυλεὶ καὶ ἀσπονδεί, καὶ ἔφοδον ἐπί τε βουλὴν καὶ τὸν δῆμον πρώτοις μετὰ τὰ ἱερὰ καὶ τὰ δημόσια· οἱ δὲ τὸ ψήφισμα ἀναγράψαντες νομοφύλακες ἀντίγραφον αὐτοῖς μεταδότωσαν ἐν διπλώματι σφραγισαμένῳ τῇ δημοσίᾳ σφραγίδι...
τὸ δὲ ψήφισμα τόδε εἶναι εἰς εὐχαριστίαν ταῦ δήμου.

4. (***Ἐδημοσιεύθη εἰς B. C. H. 37 (1913) σελ. 127***)

Νομοφυλάκων· ἐπειδὴ Πόπλιος — — τοῦ — υἱὸς Ῥωμαῖος, γενόμενος — — — — φιλικῆς ἐργασίας, καὶ στοιχῶν τῇ προνοίᾳ καὶ τῇ διαλήψει, ἐποιήσατο τὴν ἐνδημίαν καὶ τὴν ἀναστροφὴν εὔτακτόν τε καὶ εὐσχήμονα καὶ πρέπουσαν ἀνδρὶ καλῷ καὶ ἀγαθῷ, γινόμενος δὲ ἀεί τινος ἀγαθοῦ παραίτιος τῷ τε δήμῳ καὶ τοῖς κατ' ἰδίαν ἐντυγχάνουσι τῶν πολιτῶν, ἔδωκέν τε πολλὰς ἀποδείξεις ἐν τοῖς ἀναγκαίοις τῆς πρὸς τὸν δῆμον εὐνοίας — — καὶ διετήρησεν ἡμᾶς ἐν εἰρήνῃ· ὅπως οὖν καὶ ὁ δῆμος εὔπιστος ὢν φαίνηται καὶ τιμῶν τοὺς ἀγαθοὺς ἄνδρας, ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ· ἐπῃνῆσθαι Πόπλιον τοῦ — — υἱὸν Ῥωμαῖον ἐπὶ

τῇ αἱρέσει, ἣν ἔχων πρὸς τὸν δῆμον διατελεῖ καὶ ἐπὶ τῷ πεποιῆσθαι τὴν ἐνδημίαν εὐσχήμονα — — —

5. (***Ἐδημοσιεύθη εἰς Dittenberger Sylloge Inscript. Graec. Ἐκδ. β', ἀριθ. 303, εὑρεθεῖσα ἐν Σεβρί-Χισσάρ, πλησίον τῆς ἀρχαίας Τέω***).

Ο ΔΗΜΟΣ ΑΒΔΗΡΙΤΩΝ

Ἀμύμονα Ἐπικούρου Μεγάθυμον Ἀθηναίου
Ἐπειδὴ χρείας τῷ δήμῳ γενομένης πρεσβείας εἰς Ῥώμην ὑπὲρ τῆς πατρίου χώρας, περὶ ἧς ἐπιδοὺς ἀξίωμα βασιλέως Θρακῶν Κότυς τῇ συγκλήτῳ διά τε τοῦ υἱοῦ αὐτοῦ καὶ τῶν ἅμ' ἐκείνῳ ἐξαποσταλέντων ὑπ' αὐτοῦ πρεσβευτῶν ἤτει τὴν πάτριον ἡμῶν χώραν, αἱρεθέντες πρεσβευταὶ ὑπὸ τοῦ δήμου τῶν Τηΐων Ἀμύμων τε Ἐπικούρου καὶ Μεγάθυμος Ἀθηναίου, ἄνδρες καλοὶ καὶ ἀγαθοὶ καὶ ἄξιοι σφετέρας πατρίδος καὶ εὔνοι τῷ ἡμετέρῳ δήμῳ ὄντες τὴν πᾶσαν σπουδήν τε καὶ φιλοτιμίαν εἰσήνεγκον προθυμίας οὐδὲν ἐλλείποντες· ἔν τε γὰρ ταῖς συνεδρίαις ταῖς γενομέναις ὑπὲρ τῆς χώρας πᾶσαν ἐπίνοιαν παρέσχοντο χάριν τοῦ μηθὲν παραλειφθῆναι τῶν δυναμένων ἐπανορθῶσαι τὰ πράγματα, ἀγαστὴν ἅμα καὶ σωτήριον περὶ τῶν ἀπορουμένων ἀεὶ προτιθέντες γνώμην· εἵς τε Ῥώμην πρεσβεύσαντες ὑπὲρ τοῦ δήμου ψυχικὴν ἅμα καὶ σωματικὴν ὑπέμειναν κακοπάθειαν ἐντυγχάνοντες μὲν τοῖς πρώτοις Ῥωμαίων καὶ ἐξομηρευόμενοι διὰ τῆς καθ' ἡμέραν προσκυνήσεως, καταστησάμενοι δὲ τοὺς πάτρωνας τῆς πατρίδος εἰς τὴν ὑπὲρ τοῦ ἡμετέρου δήμου βοήθειαν τοὺς προνοουμένους τοῦ ἀντιδίκου ἡμῶν καὶ προστατοῦντας αὐτοῦ, πολλῶν πραγμάτων παραθέσει, ὥστε καὶ τῆς καθ' ἡμέραν μετέχοντας ἐφοδείας ἐπὶ τῶν ἀτρέων ἐφιλοτιμοῦντο· περὶ δὴ τούτων ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀβδηριτῶν ἐπαινέσαι τοὺς προγεγραμμένους ἄνδρας καὶ καλεῖσθαι εἰς προεδρίαν κατ' ἐνιαυτὸν Διονυσίων τῷ ἀγῶνι ἕως ἂν ζῶσι καὶ στεφανοῦσθαι χρυσῷ στεφάνῳ ἐν ἀγῶνι τὴν ἀναγγελίαν ποιουμένου τοῦ κήρυκος, διότι ὁ δῆμος στεφανοῖ χρυσῷ στεφάνῳ Ἀμύμωνα Ἐπικούρου Τήιον ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς ἑαυτὸν καὶ Μεγάθυμον Ἀθηναίου Τήιον χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς ἑαυτόν· οἱ δὲ νομοφύλακες οἱ ἐπὶ ἱερέως Η..... ἀναγραψάτωσαν τόδε τὸ ψήφισμα

εἰς στήλην λευκοῦ λίθου καὶ στησάτωσαν ἐν τῷ ἐπιφανεστάτῳ τόπῳ τῆς ἀγορᾶς, ἵνα πάντες κοινῶς εἰδῶσι τὴν τοῦ δήμου προθυμίαν, ἣν ἔχει πρὸς τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνδρῶν καὶ ἐλέσθωσαν οἱ νομοφύλακες πρεσβευτὰς δύω πρὸς Τηίους, οἵτινες ἀποδημήσαντες εἰς Τέων καὶ δόντες τόδε τὸ ψήφισμα παρακαλέσουσιν Τηίους προσαγγεῖλαι τὰς ἐψηφισμένας ὑπὸ τοῦ δήμου ἡμῶν τοῖς πολίταις αὐτῶν τιμάς, καὶ συγχωρῆσαι τοῖς πρεσβευταῖς στῆσαι στήλην λευκοῦ λίθου ἐν τῷ ἐπιφανεστάτῳ τόπῳ, ἐν ᾗ ἀναγραφήσεται τόδε τὸ ψήφισμα· τὸ δὲ γενόμενον ἀνάλωμα ἐπί τε τὴν στήλην καὶ ἐπὶ ἀναγραφῶν τοῦ ψηφίσματος ἀπολογισάμενοι τῇ πόλει οἱ πρεσβευταί, ὅπως ἀμοίβωνται κομιζόντων ἀπὸ τῆς τραπέζης, θεμένων αὐτοῖς τὸ διπλάσιον τῶν νομοφυλάκων ἀπὸ τῶν εἰς τὰς πρεσβείας· τὸ δὲ ψήφισμα τόδε εἶναι εἰς εὐχαριστίαν τοῦ δήμου· ᾑρέθησαν πρεσβευταὶ Ἡρακλείδης Ἀλκίφρονος, Ἀλκίφρων Δημητρίου.

ε') ΜΑΡΩΝΕΙΑΣ

6. (Ἀνευρέθη πλησίον τοῦ ἐξωκλησίου Ἁγίου Χαραλάμπους. Ἐδημοσιεύθη εἰς B C. H. 5 (1881) σ 89).

Ἔδοξεν τῇ βουλῇ ἐπειδὴ
. . . . . , ος Καλῃρίτου καὶ
. . . . τος Εκφάντου αἱρεθέντες ἀγορανόμοι ὑπὸ τοῦ δήμου
ὡς εὐωνότατα ἐπέδωκαν σῖτον τῇ πόλει . . . . .
. . . . . τίμης ἐπὶ βάσιν λάβο . . . . . .
. . . . . ἐπώλουν τοῖς προσδεομένοις . . . . . .
. . . . . βουλόμενοι συντηρῆσαι τὴν . . . . . .
. . . . . ν ἐν τῇ πόλει καὶ διασῶσαι . . . . . .

7. (Ἐδημοσιεύθη εἰς B C. H 5 (1881) σ 90

. . . . . .
ἡ ἀδελφὴ Φλαβία
Ἀπολλωνία
ὁ δῆμος
Φλαβίαν Ῥηγίλλαν
ὁ δῆμος

8. (Ἐδημοσιεύθη εἰς B. C. H. 5 (1881) σ. 90, ἐντειχισμένη εἰς οἰκίαν Θ. Χατζῆ-Γιαννούδη).

Μητρόδωρον ὁ δῆ-
Φιλομούσου μος
ἥρωα
Κατουβῆα Πλουτογέ-
νους

9. (Εἰς τὴν ἐκκλησίαν τοῦ Ἁγίου Χαραλάμπους εὑρισκομένη, ἐδημοσιεύθη εἰς B C. H. 5 (1881) σ. 98–99).

Ἀγαθῇ τύχῃ
ἱερέως Διὸς
. . . . . Δι-
νύσου καὶ
Μάρωνος
Αὐρ. Τάρσας
Μύρωνος.

Ἀριθ. 10 (Εὕρηται εἰς τὴν κλίμακα τῆς οἰκίας Παν. Σαμοθρακίτη ἐπὶ πλακὸς κεκολοβωμένης ἐν μέρει καὶ τετριμμένης ἐκ τῶν πατημάτων. Ἐδημοσιεύθη εἰς B. C H. 37 (1913) σελ. 142).

(6) . . . . . .
Τὴν τοῦ στεφάνου ἀναγγελίαν ποιεῖσθαι τὸν ἱεροκήρυκα ἐν τῷ θεάτρῳ κατὰ τάδε· ὁ δῆμος στεφανοῖ Λυσίμαχον Διείου Χαλκηδ-; ὀνιον χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς αὐτόν· δεδόσθαι δὲ αὐτῷ καὶ πολιτείαν καὶ ἔγκτησιν καὶ εἴσπλουν καὶ ἔκπλουν καὶ ἐν εἰρήνῃ καὶ ἐμ πολέμῳ ἀσυλεὶ καὶ ἀσπονδεί, καὶ ἔφοδον ἐπὶ τὴν βουλὴν καὶ τὸν δῆμον ἐὰν τοῦ δέηται, πρώτῳ μετὰ τὰ ἱερὰ καὶ τὰ δημόσια· εἶναι δὲ αὐτὸν καὶ

6). Ἀντεγράφη καθὰ ἐδημοσιεύθη ὑπὸ τῶν Ch Avezou καὶ Ch. Picard εἰς Bulletin de Correspondance Hellenique Τόμ. 37 (1913) σ. 142.

πρόξενον καὶ εὐεργέτην· δεδόσθα-
ι δὲ αὐτῷ τὰς ἄλλας τιμὰς καὶ ξέν-
ια παρὰ τῆς πόλεως ἀπὸ δραχμ-
ῶν χιλίων· ἵνα δὲ καὶ ὑπόμνημα ὑπά-
ρχῃ πρὸς (τὸ) τοὺς εὐεργέτας τοὺς τὸν δ-
ῆμον προαιρουμένους, ὅπως
Ε — — — — εστίαν αὐτόν ;
ψήφισμα περὶ προξενίας

11. (*Ἐπὶ τείχους ἔξωθεν τῆς οἰκίας Θωμᾶ Γιαννούδη. Ἐδημοσιεύθη εἰς B. C. H. 37 (1883) σ. 143*).

. . . . . .
Κέρδωνος
ὁ δῆμος

12. (*Εὑρισκομένη εἰς μίαν πηγὴν εἰς τρίωρον περίπου ἀπὸ τῆς Ξάνθης ἀπόστασιν, ἐδημοσιεύθη εἰς B. C. H 8 1884*) *σ. 52* .

Ὁ δῆμος
Βασιλέα Θρακῶν Ῥοιμητάλκην
Κότυος υἱὸν τὸν
Βιστόνων εὐεργέτην

13. (*Ἐδημοσιεύθη εἰς Annuaire des études Grecques τοῦ ἔτους 1873 σελ. 96 ἀριθ. 3*).

Αὐτοκράτορα Τραϊανὸν Ἁδριανὸν Καίσαρα Σεβα-
στὸν τὸν σωτῆρα ὁ δῆμος . . .,

14. (*Ἐδημοσιεύθη εἰς An ét. Gr. 1873 σ. 97 ἀριθ. 4*)

Βρούττιος Ἐπίνεικος ζῶν ἐποίει ἑαυτῷ καὶ τῇ συμβίῳ
Βρουττία Δημητρίᾳ τὸ μνῆμα.

γ') ΤΡΑΙΑΝΟΥΠΟΛΕΩΣ

15. (*Ὡς ἐδημοσιεύθη εἰς B. C. H. 37 (1913) σ. 149 — Ἐδημοσιεύθη ὡσαύτως καὶ εἰς Annuaire des études Grecques 1873 σελ. 98 ἀριθ 5*).

Ἀγαθῇ τύχῃ
Ὑπὲρ σωτηρίας καὶ νείκης
Αὐτοκρατόρων Καισάρων Λ.

Σεπτιμίου Σεουήρου Περτίνα-
κος καὶ Μ. Αὐρηλίου Ἀντωνείνου
Σεβαστῶν καὶ Π. Σεπτιμίου Γέτα
Καίσαρος — — — — καὶ Ἰουλίας
Δομνας Σεβαστῆς καὶ Πλαυτίλλας
καὶ σύμπαντος αὐτῶν οἴκου,
ἡγεμονεύοντος τῆς Θρακῶν ἐ-
παρχείας Κ. Στικινίου Κλάρου· Πο-
— ἡ πρώτη Τραϊανουπόλεως φυλὴ
ἀνέστησεν ἀρξαμένη ἀπὸ ταύ-
της τῆς στήλης τὰ ἑξῆς μεί-
λια· τὸ μίλιον τρίτον ἀπὸ
τῆς στήλης — — — Κελέβδαι καὶ Διο-
— — — — κῶμαι· τὸ ἡμιμείλιον τὸ
ἀπὸ τοῦ τείχους τοῦ Σαμοθρακῶν·
ἀπὸ τῆς στήλης καὶ ἄλλα δύω μεί-
λια — — — δος μέχρις Ἕβρου πο-
ταμοῦ· τὸ τὸν μείλιον ἐργάζον-
ται αἱ κῶμαι αἱ ἀρξάμεναι· Ῥούπτουλος
— — — — — — —]παρα· Πυλέμωλο-
— — — — — — —]παρα Κόρσαντος
— — — — — — —]η Δρύαι· Σρυμ-
— — — — — — —]λέδυσσος· καὶ
— — — — — — —]ιζος· Θιομπο-
— — — — — — —]υζος· Καντα.

δ') ΑΙΝΟΥ

16 (*Ἐδημοσιεύθη εἰς An. ét. Grecques 1873 σ 96*)

Ἀγαθῇ τύχῃ
— — — — — —άνην
— — — — — — λειναν
— — — — — —αν Σεβα-
στὴν ἡ βουλὴ καὶ
ὁ δῆμος ὁ Αἰνίων.

17 (*Ἐδημοσιεύθη εἰς Revue arch 1873 (Août) σελ. 94, ὡς καὶ εἰς An Et Cr. 1873 σελ 95*).

Αὐρήλιος ναύκληρος θεραπευτὴς τοῦ φιλαν-
θρώπου θεοῦ Ἀσκληπιοῦ. Τά σοι λεγόμενα ταῦτα·

ὅταν ἀποθάνῃς, οὐκ' ἀπέθανες· ἡ δὲ ψυχή σου
——αχωρῆσαι.

18. (Ἐδημοσιεύθη ὑπὸ **Dumont** *ὑπ' ἀριθ. 104 —Ἐπιθι* **Dumont - Homolle Mélanges** *σελ. 437).*

——————————
——————————
Ἐὰν δέ τις ἕτερος τολμήσει
ἀνοῖξαι ἢ ἐνθάψῃ τινὰ
πληρώσῃ τῇ κρατίστῃ βουλῇ
καὶ τῇ ἱερᾷ γερουσίᾳ ———

19 (Ἐδημοσιεύθη εἰς **Ann ét Grecques** *1873 σελ. 96)*

Ἡ βουλὴ καὶ ὁ δῆμος Αἰνίων
. . . . .

Β. Τῆς Θρακικῆς Χερρονήσου.

α') ΚΑΛΛΙΠΟΛΕΩΣ(γ)

20 (Ἐδημοσιεύθη εἰς **C I G** *ἀριθ. 2012 καὶ ὑπὸ* **Dumont** *εἰς* **Inscript** *ἀριθ 10c —Ὁρα* **Dumont - Homolle Mélanges** *σελ. 437.*

Ἐπιμεληθέντων τῶν ἀρχόντων καὶ ταμιῶν Τ. Φλαβίου
Διογενιανοῦ καὶ Τιβ. Κλαυδίου Σεβήρου.

21 (Ἐδημοσιεύθη εἰς **C. I. G.** *ἀριθ 2013)*

Αὐτοκράτορα Καίσαρα θεοῦ Τραϊανοῦ Παρθικοῦ υἱὸν
θεοῦ Νερούα ὠνῶν, Τραϊανὸν Ἀνδριανοῦ Σεβαστὸν
ἀρχιερέα μέγιστον, δημαρχικῆς ἐξουσίας τὸ ἡ ὕπατον
τὸ γ'.

22. Ἐδημοσιεύθη εἰς **C. I. G.** *ἀριθ. 2015).*

Τοῦτο τὸ μνῆμα Ἑρμάφιλος Στράτωνος κατεσκεύασεν
ἑαυτῷ ζῶν καὶ τῇ συντέκνῳ Ἀρτωρίᾳ Ὀνησίμῃ καὶ τῷ ἀνδρὶ
αὐτῆς Ζωσίμῳ Μενεστράτου καὶ τῷ υἱῷ αὐτῆς Ζωσίμῳ Ζω-

γ) Εἰς τὰς τῆς Καλλιπόλεως ἀνήκει καὶ ἡ κατωτέρω δημοσιευομένη ὑπ' ἀριθ. 37.

σίμου. Τοῖς δὲ λοιποῖς ἀπαγορεύω, εἴ τις δὲ τολμήσει ἕτερον
καταθέσθαι, δώσει εἰς τὸν φίσκον δηνάρια χίλια.

23 (Ἐδημοσιεύθη ὑπὸ **Dumont** *εἰς* **Inscr. et monum** *ἀριθ.* **104**, *καὶ* **Dumont - Homolle Mélanges** *σ. 437).*

. . . . . .
. . . Ἐὰν δέ τις ἕτερος τολμήσει
ἀνοῖξαι ἢ ἐνθάψῃ τινὰ
πληρώσει τῇ κρατίστῃ βουλῇ
καὶ τῇ ἱερᾷ γερουσίᾳ . . .

24. (Ἐδημοσιεύθη εἰς **C I. G** *ἀριθ. 2011)*

Πραιτωριανὸς
Ἀφροδείτῃ
εὐχὴν ἀνέθηκα

β') ΜΑΔΥΤΟΥ καὶ ΚΟΙΛΗΣ

25. (Ἀνευρέθη μεταξὺ Μαδύτου καὶ Κοίλης, ἐδημοσιεύθη εἰς **B. C H** *36 (1912) σελ* **289**).

Αἴλιος Ἀπολλωνίδης ἐπέγραψα τὴν σορὸν ἑαυτῷ
καὶ τῇ συμβίῳ μου Ὀνησίμῃ· κατέ-
λιπέν μοι ἡ θρέψασά μου Αἴλια Ζωσί-
μη· μνήμης χάριν ἐπέδωκα αὐτῇ
τὴν ὑπὲρ αὐτῆς τειμήν· εἰ δέ τις τολ-
μήσῃ ἕτερος ἀνοῖξαι τὴν σο-
ρὸν ταύτην δόσει εἰς τὸν
φίσκον . . . ,

26 (Εἰς ἐκκλησίαν Ἄνω Παναγιὰ τῆς Μαδύτου. Ἐδημοσιεύθη ὑπὸ **Dumont - Homolle Mélanges** *ἀριθ.* **111c**).

. . . . . ἀγωνοθετήσας τὰ
. . . . ἀνέθηκεν τῷ Διονύσῳ
τὸν ναὸν τοῦ θεοῦ καὶ τὰ ἐν αὐτῷ ἀγάλματα
καὶ τὸν περίπατον καὶ τὰ α . . .
κατασκευάσας καὶ τοὺς οἴκους
. . . . . τὰ ἀγάλματα τῶν θεῶν
. . . . . καὶ τὸν ἐλάσσονα πυλῶν.

27. (Ἐπὶ μαρμάρου τεθραυσμένου, εὑρεθέντος παρὰ τὸ χωρίον

ΣΙΣΜΑΝΟΓΛΕΙΟ

Μπαγίκιοϊ, πλησίον Σηστοῦ. — ***Ἐδημοσιεύθη εἰς*** **Β. C. H.** ***4 (1882) σελ. 513).***

. . ἡ λαμπροτάτη Κοιλανῶν πόλις
Ψ. Χ Β

28. (Ἐπὶ πλακὸς ἐπιτεθειμένης εἰς τὴν ἁγίαν Τράπεζαν τῆς Ἐκκλησίας τοῦ Ἁγίου Δημητρίου ἐν Μαδυτῷ Ἐδημοσιεύθη ὑπὸ τοῦ ***Dumont - Homolle Mélanges σ. 448).***

. . . Κοιλανῶν πόλεως
τὸν πρώτως ἀχθέντα
παίδων πάλην . . .
ἐπιτροπεύοντος τῆς
ἐπαρχείας
Φλ. Εὐγενέτορος

29. (Ἐδημοσιεύθη εἰς **Β. C. H.** ***4 (1880), σ. 514).***

Κάτιος Τίβερις ἔθηκα τὴν σορὸν
ἐμαυτῷ καὶ τῇ γυναικί μου
Κλαυδίᾳ Εὐημερίᾳ καὶ τέκνοις
δυσί· εἰδέ τις ἀνοίξας ἕτερον
νεκρὸν βαλεῖ, δώσει τῷ φίσκῳ
δηνάρια δισχίλια πεντακόσια
καὶ τῇ Κοιλανῶν πόλει
δηνάρια * Β Φ

30 (Ἐπὶ πλακὸς εὑρισκομένης ἐπὶ ἐξωτερικοῦ τοίχου τῆς ἐν Μαδύτῳ Ἐκκλησίας Ἁγ. Ἰωάννου. Ἐδημοσιεύθη ὑπὸ Χρυσ. Παπαδοπούλου «Ἡ Μάδυτος» σ. 28).

. . . . . .
ἐὰν δέ τις
ἕτερος ἀνοίξῃ
ξῃ, δώσει
τῷ φίσκῳ...

γ') ΣΗΣΤΟΥ

31. (Ἐδημοσιεύθη εἰς **Β. C. H.** ***36 (1912) σ. 277 ὑπὸ Ch Picard καὶ A. Reinach. Ἀνευρέθη πλησίον Σηστοῦ, μετεφέρθη εἰς Μάδυτον).***

Τατία ἡ καὶ Μαξίμα Τίτῳ
Π. Ορφανῷ ἰδίῳ ἀνδρὶ

Ὁ δῆμος	Ὁ δῆμος	Ὁ δῆμος
Σηστίων	Φλαβιοπο-	Μαδυτίω
ὁ δῆμος	λειτῶν	ν
Αβυδην-	Ὁ δῆμος Δαρδ-	Ὁ δῆμο-
ων	ανείων	ς Αλοπε-
	Ὁ δῆμος	κοννησίω-
	ὁ Ἐλεωσί-	ν
	ων	

32. (Ἀνευρέθη εἰς Σηστὸν καὶ περιελήφθη εἰς τὴν συλλογὴν τοῦ Ἀμερικανοῦ προξένου Καλβέρτη. Ἐδημοσιεύθη ἐν μέρει ὑπὸ τοῦ Κουρτίου (Ἑρμ. VII σ. 113 καὶ ἑπ.) καὶ εἰς Μουσεῖον καὶ Βιβλιοθ. τῆς ἐν Σμύρνῃ Εὐαγγελικῆς σχολῆς (Περίοδος Β' ἔτος β' καὶ γ' (1876 — 1878) σ. 18 καὶ ἑπ. καὶ 221 καὶ ἑπ.) — Ὁλόκληρος ἐδημοσιεύθη ὑπὸ Dittenberger Syll. ἀριθ. 246).

Ἐπὶ ἱερέως Γλαυκίου τοῦ Κιλλαίου μηνὸς Ὑπερβερεταίου — — — — — — — ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ· Μέναν-
δρος Ἀπολλᾶ εἶπεν· ἐπειδὴ Μηνᾶς Μένητος ἀπὸ τῆς πρώτης ἡλικίας κάλλιστον ἡγησάμενος εἶνε τὸ τῇ πατρίδι χρήσιμον ἑαυτὸν παρέχεσθαι, οὔτε δαπάνης καὶ χορηγίας οὐδε-
5 μιᾶς φειδόμενος, οὔτε κακοπαθίαν καὶ κίνδυνον ἐκκλίνων οὔτε τὴν ἀπαντωμένην καταφθορὰν τῶν ἰδίων τοῖς ὑπὲρ τῆς πόλεως πρεσβεύουσιν ὑπολογιζόμενος, πάντα δὲ ταῦθ' ἡγούμενος δεύτερα καὶ πρὸ πλείστου θέμενος τὸ πρὸς τὴν πατρίδα γνήσιον καὶ ἐκτενές, βουλόμενός τε τῷ μὲν δήμῳ διὰ τῆς ἰδίας σπου-
δῆς ἀεί τι τῶν χρησίμων κατασκευάζειν, ἑαυτῷ δὲ καὶ τοῖς ἐξ ἑαυτοῦ διὰ τῆς ἀπαντωμένοις ἐκ τοῦ πλήθους εὐχαριστίας
10 δόξαν ἀείμνηστον περιποιεῖν, πολλὰς μὲν πρεσβείας ἐπιτελέσας πρὸς τοὺς βασιλεῖς, ἐν αἷς πάντα τὰ συμφέροντα κατηργάσατο μετὰ τῶν συνπρεσβευτῶν τῷ δήμῳ, τὰς τ' ἐνχειρισθείσας ἑαυτῷ πίστεις ὁσίως διεφύλαξεν· πραγματευθεὶς δὲ καὶ παρὰ Στράτωνι τῷ στρατηγῷ τῆς Χερρονήσου καὶ τῶν κατὰ τὴν
Θρᾴκην τόπων καὶ τῆς καλλίστης ἀποδοχῆς ἀξιούμενος παρ'
15 αὐτῷ διὰ τὴν ἐν τοῖς πιστευομένοις καθαρειότητα, ἐκεῖνόν τε παρείστατο χρήσιμον γείνεσθαι τῇ πόλει, αὐτός τε πάσι τοῖς πολίταις ἐκτενῶς προσηνέχθη· τῶν τε βασιλέων εἰς θεοὺς μεταστάντων καὶ τῆς πόλεως ἐν ἐπικινδύνῳ καιρῷ γενομένης διά τε τὸν ἀπὸ τῶν γειτνιώντων Θρᾳκῶν φόβον καὶ τῶν ἄλλων τῶν ἐκ τῆς ἀφνιδίου περιστάσεως ἐπιστάντων χαλεπῶν, Μηνᾶς

καὶ λέγων καὶ πράσσων διετέλει τὰ ἄριστα καὶ κάλλιστα, δι-
δοὺς ἀπροφασίστως ἑαυτὸν εἰς πάντα τὰ συνφέροντα τῇ πόλει
τάς τε πρεσβείας ἀνεδέχετο προθύμως πρός τε τοὺς στρατηγοὺς
τοὺς ἀποστελλομένους ὑπὸ Ῥωμαίων εἰς τὴν Ἀσίαν καὶ τοὺς
πεμπομένους πρεσβευτάς, ἐν αἷς ἐν οὐδενὶ καθυστέργησεν ὁ
δῆμος, ἀλλὰ πάντα κατῳκονομίσατο διὰ τῆς τῶν πρεσβευόν-
των κακοπαθίας, πρὸς οὓς τε ἐπρέσβευσεν δήμους ἐν καιροῖς
ἀναγκαίοις, τὰ λυσιτελῆ τῇ πατρίδι μετὰ τῶν συνπρεσβευτῶν
κατεσκεύασεν, ἔν τε ταῖς πολεμικαῖς περιστάσεσιν ἀνὴρ ἀγαθὸς
ὢν διετετέλεκεν πρὸς τὸν δῆμον ἱερεύς τε ἀποδειχθεὶς τοῦ βα-
σιλέως Ἀττάλου ἀξίως ἀνεστράφη τοῦ δήμου πᾶσαν ὑπομείνας
φιλαγάθως τὴν ἐν τοῖς δαπανωμένοις χορηγίαν, ἐπιστραφεὶς
οὐ μόνον τῶν πολιτῶν καὶ τῶν ἄλλων τῶν κατοικούντων τὴν
πόλιν, ἀλλὰ καὶ τῶν παρεπιδημούντων περιτεθεὶς τὴν ἐκ
τῶν ξένων εὐφημίαν τῇ πατρίδι· γυμνασίαρχός τε αἱρεθεὶς
τῆς τε εὐταξίας τῶν ἐφήβων καὶ τῶν νέων προενοήθη τῆς
τε ἄλλης εὐσχημοσύνης τῆς κατὰ τὸ γυμνάσιον ἀντελάβετο κα-
λῶς καὶ φιλοτίμως· κατεσκεύασεν τόν τε λουτρῶνα καὶ τὸν
ἐφεξῆς οἶκον, ἀνέθηκεν δὲ καὶ ἄγαλμα λευκοῦ λίθου, τά τε
ἐλλείποντα καὶ ὄντα ἀναγκαῖα προσκατεσκεύασεν· ἔν τε τοῖς
γενεθλίοις τοῦ βασιλέως καθ' ἕκαστον μῆνα θυσιάζων ὑπὲρ
τοῦ δήμου διαδρομὰς ἐτίθη τοῖς τε ἐφήβοις καὶ τοῖς νέοις
συνετέλει δὲ καὶ ἀκοντισμοὺς καὶ τοξείας, ἐτίθη δὲ καὶ ἐπαλείμ-
ματα, διὰ τῆς ἑαυτοῦ φιλοδοξίας προτρεπόμενος εἰς ἄσκησιν
καὶ φιλοπονίαν τοὺς νέους, ἀνθ' ὧν ὁ δῆμος ἀποδεχόμενος
αὐτὸ τὸ φιλόσπουδον καὶ ἐκτενὲς συνεχώρησεν μὲν αὐτῷ τὰς
ἐπιγραφάς, ἠξίωσεν δὲ ἐπαίνου διὰ τῶν ψηφισμάτων, οἵ τε
ἔφηβοι καὶ νέοι ἐστεφάνωσαν αὐτόν τε καὶ τὸν ἐφήβαρχον,
ὧν ἀποδεξάμενος τὴν τιμὴν τῆς δαπάνης αὐτοὺς παρέλυσεν τάς
τε τῶν ὅπλων ἀναθέσεις ἐκ τῶν ἰδίων ἐποιήσατο· τοῦ τε δή-
μου προελομένου νομίσματι χαλκίνῳ χρῆσθαι ἰδίῳ χάριν τοῦ
νομειτεύεσθαι μὲν τὸν τῆς πόλεως χαρακτῆρα, τό τε λυσιτε
λὲς τὸ περιγεινόμενον ἐκ τῆς τοιαύτης προσόδου λαμβάνων τὸν
δῆμον καὶ προχειρισαμένου τοὺς τὴν πίστιν εὐσεβῶς τε καὶ
δικαίως τηρήσαντας, Μηνᾶς αἱρεθεὶς μετὰ τοῦ συναποδειχθέν-
τος τὴν καθήκουσαν εἰσηνέγκατο ἐπιμέλειαν, ἐξ ὧν ὁ δῆμος
διὰ τὴν τῶν ἀνδρῶν δικαιοσύνην καὶ φιλοτιμίαν χρῆται τῷ
ἰδίῳ νομίσματι, ἔν τε ταῖς ἄλλαις ἀρχαῖς καὶ λειτουργίαις, εἰς

ἃς ὁ δῆμος αὐτὸν προκεχείρισται, ἴσον ἑαυτὸν καὶ δίκαιον πα-
ρείσχηται, βουλόμενος στοιχεῖν τοῖς ὑφ' ἑαυτοῦ πρασσομένοις
καὶ κατὰ τὰ μηθὲν ἐνλείπειν τῇ πρὸς τὸ πλῆθος εὐνοίᾳ φυλάσ-
σειν δὲ ὀρθῶς καὶ δικαίως τὰς ἐνχειριζομένας αὐτῷ πίστεις·
τότε δεύτερον παρακληθεὶς γυμνασιαρχῆσαι ὑπέμεινεν ἐν καιρ-
οῖς δυσκόλοις, τεθλειμμένων ἡμῶν ἐξ ἐτῶν πλειόνων διά τε τὰς
Θρᾳκίους ἐπιδρομὰς καὶ τοὺς περιστάντας τὴν πόλιν πολέ-
μους, ἐν οἷς ἀπῄχθη μὲν τὰ ἀπὸ ἀγρῶν πάντα, ἄσπορος
δὲ ἡ πλείστη χώρα ἐγένετο, αἵ τε ἐπιγενόμεναι κατὰ τὸ συνε-
χὲς ἀφορίαι τοῦ σίτου εἰς ἀπορίαν κατὰ κοινόν τε τὸν δῆμον
ἤγαγον κατ' ἰδίαν τε ἕκαστον τῶν πολιτῶν, ἐν οἷς καὶ ὁ Μη-
νᾶς ἦν πολλαῖς τεθλειμμένος· πάντα δὲ ταῦτα παραιτησάμε-
νος, τῷ θεωρεῖν τὸν δῆμον εὐχάριστον ὄντα καὶ τιμᾶν τοὺς
ἀγαθοὺς ἄνδρας ἐπιστάμενον, ὑπερέθετο ἑαυτὸν ταῖς τε δα-
πάναις καὶ τῇ λοιπῇ φιλοδοξίᾳ· εἰσελθὼν γὰρ εἰς τὴν ἀρχὴν
τῇ νουμηνίᾳ συνετέλεσε μὲν θυσίας τῷ τε Ἑρμεῖ καὶ τῷ
Ἡρακλεῖ τοῖς καθιδρυμένοις ἐν τῷ γυμνασίῳ θεοῖς ὑπὲρ τῆς
τοῦ δήμου καὶ τῆς τῶν νέων σωτηρίας, ἐπετέλεσεν δὲ καὶ δια-
δρομὰς καὶ θέσεις ἀκοντισμοῦ καὶ τοξείας, τῇ δ' ἐσχάτῃ καλ-
λιερήσας ἐκάλεσεν ἐπὶ τὰ ἱερὰ οὐ μόνον τοὺς μετέχοντας τοῦ
ἀλείματος, ἀλλὰ καὶ τοὺς λοιποὺς πάντας, ποιούμενος τὴν
μετάδοσιν τῶν ἱερῶν καὶ τοῖς ξένοις· καθ' ἕκαστόν τε μῆνα
ἐπιτελῶν τὰς πρεπούσας θυσίας ὑπὲρ τῶν νέων τοῖς προεστη-
κόσιν τοῦ γυμνασίου θεοῖς φιλαγάθως καὶ μεγαλομερῶς ἐχρῆτο
τιθεὶς διακοντισμούς τε καὶ τοξείας καὶ διαδρομὰς ἐπιτελῶν,
μεταδιδοὺς μὲν τοῖς νέοις τῶν καλλιερουμένων ὑφ' ἑαυτοῦ
ἱερῶν, προτρεπόμενος δὲ διὰ τῆς τοιαύτης φιλοδοξίας πρὸς
ἄσκησιν καὶ φιλοπονίαν τοὺς νέους, ἐξ ὧν αἱ τῶν νεωτέρων
ψυχαὶ πρὸς ἀνδρείαν ἀμιλλώμεναι καλῶς ἄγονται τοῖς ἤθεσιν
πρὸς ἀρετήν· μετεδίδου δὲ τοῖς ἀλειφομένοις τῶν ἱερῶν τῶν
ἀπὸ τοῦ ἀλείμματος εἰς οἶκον· κοινὴν ποιούμενος τὴν φιλαν-
θρωπίαν καὶ τοῖς ξένοις τοῖς μετέχουσι τοῦ ἀλείμματος· προσ-
ηνέχθη δὲ φιλανθρώπως καὶ τοῖς τὰς ἀκροάσεις ποιησαμένοις
πᾶσιν, βουλόμενος καὶ ἐν τούτοις διὰ τῶν πεπαιδευμένων τὸ
ἔνδοξον περιτιθέναι τῇ πατρίδι· ἐπεμελήθη δὲ καὶ τῆς τῶν ἐφή-
βων καὶ νέων παιδείας, τῆς τε λοιπῆς εὐσχημοσύνης τῆς κατὰ
τὸ γυμνάσιον προενοήθη, ἐχορήγησεν δὲ καὶ ξύστρας καὶ ἐπα-
λείμματα ἔθηκεν, συνετέλεσεν δὲ καὶ ἀγῶνα τῷ Ἑρμεῖ καὶ τῷ

Ἡρακλεῖ ἐν τῷ Ὑπερβερεταίῳ, τιθεὶς ἆθλα πάντων τῶν ἀθλημάτων τοῖς τε νέοις καὶ τοῖς ἐφήβοις ὅπλα ἐπίσημα ἐνδεδεμένα ἐν ὁπλοθήκαις, ἐφ' ἃ ἐπιγράψας τοὺς νικήσαντας τὴν ἀνάθεσιν αὐτῶν παραχρῆμα ἐν τῷ γυμνασίῳ ἐποιήσατο· ἔθηκεν δὲ καὶ δευτερεῖα θέματα· ἔθηκεν δὲ καὶ παισὶν ἆθλα καὶ ὁπλομαχίας θέματα ἐφήβοις τε καὶ ἀνδράσιν, ὁμοίως δὲ καὶ διατοξείας καὶ διακοντισμοῦ· ἔθηκεν δὲ καὶ ὅπλα μακροῦ δρόμου καὶ εὐταξίας καὶ φιλοπονίας καὶ εὐεξίας· συντελέσας δὲ καὶ θυσίαν τοῖς προγεγραμμένοις θεοῖς καὶ κατατροχάσας τὴν εὐανδρίαν κατὰ τὸν νόμον ἐκάλεσεν ἐπὶ τὰ ἱερὰ τοὺς ἀλειφομένους πάντας καὶ τοὺς ξένους τοὺς μετέχοντας τῶν κοινῶν λαμπρὰν ποιησάμενος τὴν ὑποδοχὴν καὶ ἀξίαν τῶν θεῶν καὶ τοῦ δήμου· ἵνα οὖν καὶ ὁ δῆμος φαίνηται τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνδρῶν τιμῶν καὶ τοὺς ἀπὸ τῆς πρώτης ἡλικίας φιλοτίμους γινομένους πρὸς τὰ κοινὰ καὶ φιλοδοξεῖν προαιρουμένους ἀποδεχόμενος καὶ ἐν χάριτος ἀποδόσει μὴ λείπηται θεωροῦντες τε καὶ οἱ λοιποὶ τὰς περιγενομένας τιμὰς ἐκ τοῦ δήμου τοῖς καλοῖς καὶ ἀγαθοῖς, ζηλωταὶ μὲν τῶν καλλίστων γίνωνται προτρέπωνται δὲ πρὸς ἀρετήν, ἐπαύξηται δὲ τὰ κοινὰ παρορμωμένων πάντων πρὸς τὸ φιλοδοξεῖν καὶ περιποιούντων ἀεί τι τῇ πατρίδι τῶν καλῶν· τύχῃ τῇ ἀγαθῇ, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ ἐπαινῆσθαι Μηνᾶν Μέννητος ἐπί τε τοῖς προγεγραμμένοις πᾶσιν καὶ ἐφ' ᾗ ἔχων εὐνοίᾳ διατελεῖ πρὸς τὸν δῆμον συνκεχωρεῖσθαι δὲ αὐτῷ καὶ τὴν τῶν ὅπλων ἀνάθεσιν ἐπιτελέσαι ποιουμένων τὰς ἐπιγραφὰς καὶ ὅτι ἐστεφάνωται ὑπό τε τῶν ἐφήβων καὶ τῶν νέων· στεφανοῦσθαι δὲ αὐτὸν καὶ ὑπὸ τοῦ δήμου ἀνὰ πᾶν ἔτος τῆς πανηγύρεως ἐν τῷ γυμνικῷ ἀγῶνι χρυσῷ στεφάνῳ, τὴν ἀναγόρευσιν τοῦ κήρυκος ποιουμένου κατὰ τάδε «ὁ δῆμος στεφανοῖ Μηνᾶν Μέννητος γυμνασιαρχήσαντα δὶς καλῶς καὶ φιλοδόξως ἀρετῆς ἕνεκα καὶ εὐνοίας τῆς εἰς ἑαυτόν· στῆσαι δὲ αὐτοῦ καὶ εἰκόνα χαλκῆν ἐν τῷ γυμνασίῳ ἐφ' ἧς ἐπιγραφήσεται «ὁ δῆμος καὶ οἱ νέοι Μηνᾶν Μέννητος γυμνασιαρχήσαντα δὶς καλῶς καὶ φιλοδόξως καὶ ἀγαθὸν ἄνδρα γεγονότα περὶ τὸν δῆμον», καλεῖσθαι δὲ αὐτὸν καὶ ἐκγόνους εἰς προεδρίαν ἐν πᾶσι τοῖς ἀγῶσιν, οἷς ἂν ἐπιτελῇ ὁ δῆμος· ποιεῖσθαι δὲ τοῦ στεφάνου τὴν ἀνάρρησιν τὸν κατ' ἐνιαυτὸν γινόμενον ἀγωνοθέτην· ἐπεὶ δὲ βουλόμενος διὰ τὴν ὑπάρχουσαν περὶ τὰ κοινὰ στενοχωρίαν χαρίζεσθαι καὶ

ἐν τούτοις τῇ πόλει ἀναδέχεται ἐκ τῶν ἰδίων τὸ ἀνάλωμα τὸ εἰς τὸν ἀνδριάντα, προνοηθήτω ἵνα ὡς κάλλιστος σταθῇ ἀναγραψάτω δὲ καὶ εἰς στήλην λευκοῦ λίθου τόδε τὸ ψήφισμα καὶ στησάτω εἰς τὸ γυμνάσιον —

δ') ΑΛΛΩΝ ΜΕΡΩΝ ΤΗΣ ΧΕΡΡΟΝΗΣΟΥ

33 [***Εὑρίσκεται εἰς ἐξωκλήσιον τοῦ Ἁγ. Γεωργίου, ἀπέχον περὶ τὸ ἡμίωρον τῆς κώμης Νεοχώριον (Γενήκιοϊ) κειμένης Βορειοδυτικῶς τῆς Χερρονήσου παρὰ τὸν Μέλανα κόλπον. Ἐδημοσιεύθη ἐν Mitteilungen des deutschen archäogischen institutes in Athen 1884 Τομ. IX σελ. 76***]

. . . . . κ —
αι στῆσαι αὐτὴν ἐν τῇ ἀκροπόλει,
τὸ δὲ ἀνάλωμα τὸ εἰς τὴν στή-
λην καὶ τὴν ἀναγραφὴν δοῦ-
ναι τὸν ταμίαν.

34. [***Εὑρίσκεται ἔμπροσθεν τῆς πύλης τοῦ ἱεροῦ βήματος τοῦ ἐν Ἐξαμηλίῳ Ναοῦ τοῦ Ἁγίου Χαραλάμπους. Ἐδημοσιεύθη ὑπὸ Α. Παπαδοπούλου Καραμέως, Ἀρχαιότητες καὶ Ἐπιγραφαὶ Θράκης σελ. 103***].

. . . . . .
ἕτερος . . . . . .
ἐς τῷ ἱερώτατον ταμεῖον
προστίμου ✻ ΒΦ

35. [***Ἐν τῇ Ἐκκλησίᾳ τοῦ Ἁγίου Γεωργίου εἰς Ταϊφέριον τῆς Χερρονήσου. Ἐδημοσιεύθη ἐν Mitteil. deuts. arch. Τομ. IX σ. 77***].

Χρυσέρως
φιλοκυνηγὸς
ἐποίησα ἐμαυ-
τῷ τὸ ἐνσόριον
καὶ τῇ γυναικί
μου καὶ τοῖς τέ-
κνοις· εἴ τις δὲ
ἕτερον τολμήσῃ βάλλειν, δώ-
σει προστείμου
τῷ ταμείῳ δην. Φ
καὶ τῇ πόλι δην. Φ.

36. [*Ἐδημοσιεύθη εἰς C. I G. ἀριθ· 2017*]·

Κάλλιστος ὑπὲρ τοῦ
υἱοῦ Ἀλεξάνδρου Διῒ
Ὀλβίῳ εὐχαριστήριον

37. [*Εὑρίσκεται ἐπὶ μιᾶς μαρμαρίνης σαρκοφάγου ἐν Τουρκικῇ μονῇ τῶν δερβισῶν (ε). Ἐδημοσιεύθη εἰς* **Annuaire de l'Association pour l'encouragement des Etudes Grecques** *Ἔτος 7 (1873) σ. 99 — Ὡσαύτως ὑπὸ* **Dumont** *ἀριθ. 100s* **Homolle** *Mélanges σ. 434*].

. . . .

Αὐρ, Κάρπος
ἑαυτῷ
κὲ τῇ γυ-
νεκί μου

κέ τοῖς τέ-
κνοις· εἰ δέ
τις ἕτερος
κητωποιεῖ δη-
ναρίων μυριάδες
ἑκατὸν

. βουλήθη
ἀνοίξῃ δώσει
τῷ ἱερῷ τα-
μείῳ δώσει
δηναρίων μυ-
ριάδες τριακο-
σίας

Γ. Τῶν παρὰ τὴν Προποντίδα καὶ Βόσπορον.

α') ΓΑΝΟΥ

38. [*Ἐπὶ σηκώματος περιγραφομένου ὑπὸ* **Dumont** *εἰς* **Inscriptions et Monument de la Thrace** *σελ. 20 καὶ* **Homolle Mélanges** *σελ. 407. Τὸ μετρολογικὸν τοῦτο μνημεῖον δὲν ὑπάρχει πλέον. Ὅρα σχετικῶς καὶ Α. Παπαδοπούλου Κεραμέως Ἀρχαιότ. καὶ Ἐπιγρ. Θράκης κλπ. σελ. 101*].

ἐπ' ἀγορανόμου Φαινίππου

39. [*Ἐδημοσιεύθη εἰς* **Mitteilungen des deutschen archäologichen institutes in Athen** *Τομ. IX (1884) σελ. 74*]

Ἀγαθῇ Τύχῃ·
Ἀπολλώνιος
Σεύθου Θεᾶ
Γανήᾳ εὐχὴν

ε) Ἡ μονὴ αὕτη εἶναι ἐν Καλλιπόλει, καὶ ἐν τῷ προαυλίῳ αὐτῆς ἡ σαρκοφάγος αὕτη.

β') ΧΩΡΑΣ

40. [*Εὑρίσκεται ἐν τῇ ἐκκλησίᾳ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου (τῆς Τσάκαινας) Ἐδημοσιεύθη ὑπὸ Α. Παπαδοπούλου Κεραμέως Ἀρχαιοτ. καὶ Ἐπιγραφαὶ Θράκης καὶ Μακεδονίας σελ. 102*]

Ἀγαθῇ Τύχῃ
Βρουτία Βασ-
σου ὑπὲρ
Κολερίνης
τῆς θρεπ[τ]
ῆς τῷ Μυρ-
τηνῷ
εὐχήν

γ') ΠΑΝΙΔΟΥ - ΒΙΣΑΝΘΗΣ

41. [*Ἐδημοσιεύθη ὑπὸ* **Dumont - Homolle** *Mél. σελ. 405. Εὑρίσκεται ἐπὶ ἑνὸς τεμαχίου σηκώματος μετὰ ὄνομα ἐν μονογράμματι*].

Ἀγορανόμος

42 [*Ἐπὶ τοῦ περιτειχίσματος τοῦ ναοῦ τῶν Γενεθλίων τῆς Θεοτόκου. Ἐδημοσιεύθη ὑπὸ Α. Παπαδοπούλου Κεραμέως Ἀρχ. καὶ Ἐπιγραφ. Θράκ. καὶ Μακεδ σελ. 90*].

Ζοΐλου Θαλαθήου καὶ , ...
ὃ κατεσκεύασεν ἑαυτῷ καὶ τῇ γυναι-
κὶ Εὐτέρπῃ ζῶσα καὶ τοῖς τέκνοις
Δαμᾷ Ζοΐλου καὶ Ἀσκληπιοδότῃ
Ζοΐλου· εἴ τις ἂν τολμήσει ἕτε-
ρον καταθέσθαι δώσει τῷ φίσ-
κῳ δην. ᾱφ καὶ τῷ ἐνσορίῳ δην. Φ

δ') ΠΕΡΙΝΘΟΥ (ΗΡΑΚΛΕΙΑΣ)

43. [*Ἐδημοσιεύθη ὑπὸ* **Dumont Inscr. et monum** *72h καὶ* **Hommolle Mélanges** *σελ. 384*].

Ὁ δῆμος
Πόπλιον Κωσίνιον
Πωπλίου υἱὸν Καπίτωνα
ἀγορανομήσαντα ἐπιμελῶς

44. [***Ἀνευρέθη εἰς Τυρολόην, ἀλλὰ προέρχεται ἐκ Περίνθου. Ἐδημοσιεύθη ὑπὸ Dumont - Homolle Mélanges σελ. 389 ἀριθ. 74h. Καὶ εἰς Mitteilungen des deut. archäol. inst. Τομ. IX (1884) σελ. 74***].

Εὐστάθιος Περίνθιος
βουλευτὴς ἔθηκα τὴν
σορὸν τῷ χρηστῷ Αὐρ . . .
Ὃς δ' ἂν τολ-
μήσῃ ἕτερον
καταθέσθαι κατὰ ἑαυτὸν
δώσει τῇ πόλει δηνάρια ἑφ

45. ***Ἐδημοσιεύθη ὑπὸ Dumont ἀριθ. 72b Homolle Mél. σελ. 381***].

Ἡ βουλὴ καὶ ὁ δῆμος τῆς λαμπρο-
τάτης Περινθίων πόλεως Στατεί-
λιον Κριτωνιατὸν τὸν κράτιστον
ἐπίτροπον τοῦ Σεβαστοῦ

46. ***Ἐδημοσιεύθη ὑπὸ Dumont ἀριθ. 72h Homolle Mél. σελ. 384***]

Μετιδίαν Σεβαστὴν
ἡ βουλὴ καὶ ὁ δῆμος
ὁ Περινθίων

47. [***Εἰς C. I. G. ὑπ' ἀριθ. 2022 ἐδημοσιεύθη καὶ ὑπὸ Dumont Inscr. et Monum ἀριθ. 74c καὶ Homolle Mélanges σελ. 388***].

Ἀγαθῇ τύχῃ
Αὐτοκράτορα Καίσαρα
Λ. Σεπτίμιον Σεουῆρον
Εὐσεβῆ Περτίνακα
Σεβαστόν, Ἀραβικὸν
Ἀδιαβηνικόν, Παρθικὸν
μέγιστον ἡ βουλὴ
καὶ ὁ δῆμος τῶν
νεωκόρων Περινθίων

48 [***Ἐδημοσιεύθη ὑπὸ Dumont ἀριθ. 72j Homolle σ. 384***].

Ἡ πόλις
τὸν πρῶτον τῆς πόλεως
καὶ τῶν Ἑλλήνων Μ. Αὐρ. Θεμιστοκλέα
ἱππικὸν γραμματέα μόνον
Ἐφεσίων πρῶτον καὶ Ἀσιάρχην Αὐρ. Ἡρακλᾶς τὸν ἑαυτοῦ
συνήγορον καὶ προστάτην
ψηφίσματι βουλῆς —

49. ***Ὑπὸ Dumont Inscr. et monum 72a, Homolle Mél. σ. 381***].

Διὶ Ζ Βελασούρδῳ
Αὐτοκράτορι Καίσαρι Δομιτια-
νῷ Σεβαστῷ Γερμανικῷ, τὸ ιδ'
ὑπάτῳ ἐπιτροπεύοντος Θράκης
Κ. Οὐετιδίου Βάσσου, Π. Κλαύ-
διος Σεβαστοῦ ἀπελεύθερος
Ζηνᾶ, τριήραρχος κλάσεως Περιν-
θίας σὺν Κλαυδίοις τε υἱοῖς Κυρήνᾳ
Μαξίνῳ, Σαβίνῳ, Λούπῳ, Φου-
τούρῳ τέκνοις ἰδίοις πρῶτος
καθιέρωσεν.

50 [***Ἐδημοσιεύθη εἰς C. I. G. ἀριθ. 2021***].

Καὶ Ὀλυμπίῳ Ἐλευθερίῳ καὶ Σαβείνῃ Σεβαστῇ

51. [***Ἐδημοσιεύθη εἰς C. I. G. ὑπ' ἀριθ. 2024 ἐν τῇ Θρακικῇ Ἐπετηρίδι (1897) σελ. 14 ὑπὸ Α. Παπαδοπούλου Κεραμέως***].

Ἀγαθῇ τύχῃ, ἡ βουλὴ καὶ ὁ δῆμος ἐτείμησε Π . . .
Αἴλιον Ἀρποκρατίωνα τὸν καὶ Πρόκλον τὸν τὸ Τύχαιον
κατασκευάσαντα. Ἀλεξανδρεῖς οἱ πραγματευόμενοι ἐν Πε-
ρίνθῳ τὸν ἀνδριάντα ἀνέστησα τειμῆς χάριν.—(στ')

52. ***Εἰς C. I. G. ὑπ' ἀριθ. 2025 καὶ Dumont ἀριθ. 74***].

Πάσαις ἐν πολίεσσι τέχνην ἤσκησα πρὸ πάντων

στ). Ἐν τῷ ἀντιγράφῳ τοῦ Α. Παπαδοπούλου, λαβόντος αὐτὸ παρά τι-
νος διδασκάλου ἀντὶ «Π... Αἴλιος» φέρεται «Πόπλιος» καὶ ἄλλαι τινὲς
παραλλαγαί εἰσιν.

ψηφοδέτης, δώροις Παλλάδος εὐράμενος
Γΐα λιπὼν βουλῆς σύνεδρον Πρόκλον ἰσότεχνόν μου
ὀγδοηκοντούτης τοῦδε τάφοιο λαχῶν

53. [*Ἀνευρέθη εἰς τὰ ἐρείπια τοῦ πλησίον τῆς Περίνθου ἀμφιθεάτρου· ἐδημοσιεύθη εἰς* C. I. G. *ὑπ. ἀριθ. 2026*].

Ἀσκληπιάδης Ταύρου
ζῶν καὶ φρονῶν ἑαυτῷ
ἔθηκε τὸν βωμὸν καὶ τῇ
συμβίῳ ἑαυτοῦ ἐπικτήσει καὶ τοῖς
τέκνοις μνείας χάριν
χαῖρε παροδεῖτα.

54. [*Ἐδημοσιεύθη εἰς* C. I. G. *ὑπ' ἀριθ. 2027 καὶ ὑπὸ* Dumont Homolle *Mélanges σ 389.—Εἶναι ὁμοία τῇ ἀνωτέρω δημοσιευθείσῃ ὑπ' ἀριθ. 44*].

Βεττίδιος Εὐτυχιανὸς Περίνθιος
βουλευτὴς ἔθηκα
τὴν σορὸν Αὐρηλίῳ Χρήστῳ
ὃς δ' ἂν τολμήσῃ ἕτερον
καταθέσθαι κατὰ αὐτὸν
δώσει τῇ πόλει δηνάρια ,ϐφ'.

55. [*Ἐδημοσιεύθη εἰς* C. I. G. *ὑπ' ἀριθ. 2028*].

Ἰουλίᾳ Κλεοπάτρα . . . . ὃς δ' ἂν τολμήσῃ ἕτερον
τινα καταθέσθαι, δόσει προστείμου τῇ πόλει δεινάρια
. . . . χαῖρε παροδεῖτα.

56. [*Ἐδημοσιεύθη ὑπὸ Κ. Παπαδοπούλου Κεραμέως εἰς Θρακικὴν Ἐπετηρίδα (1897) σ. 12*].

Μάρκος Αὐρήλιος ὁ καὶ
Ἀχιλλᾶς ἠγόρασα τὸ λατόμιν ἑαυτῷ καὶ ἐπὶ τῷ ἐσωτικὸν μηδένα βληθῆναι, ἐπεὶ ὁ τολμήσας δώσει προστείμου τῇ πόλει δηνάρια Τ.

57. [*Ἐδημοσιεύθη ὑπὸ Κ. Παπαδοπούλου Κεραμέως εἰς Θρακικὴν Ἐπετηρίδα (1897) σ. 13*].

Μάρκος Ἰούλιος Ἰοῦλδος
στρατηγὸς ἀστικῆς περὶ
Πέρινθον εὐχαριστήριον

58. [*Ἐδημοσιεύθη ὑπὸ* Dumont-Homolles *Mélanges σ. 378*].

Μ. Οὔλπιον Σενεκίωνα Σατουρνεῖνον πρεσβευτὴν
Σεβαστοῦ ἀντιστράτηγον, τὸν τειμητὴν καὶ ὑγιέστατον ἡ βουλὴ
διὰ ἅπασαν ἀρετὴν τὸν ἑαυτῆς
εὐεργέτην

59. [*Ἐδημοσιεύθη ὑπὸ* Dumont *ἀριθ. 72 - Homolle Mélanges σ. 380*].

Ἀρτεμεισία Σόφου τὸ μνημεῖον ἐποίησα ἐμαυτῇ σὺν τῷ σώματι Προκονησείῳ—
βούλομαι δὲ μετὰ τὸν ἐμὸν θάνατον μηδένα
ἕτερον βληθῆναι ἢ μόνον τὸν σύνδιόν μου—
Ἀπολλώνιον Ἀπολλωνίου· εἰ δέ τις παρενχειρήσῃ ἕτερόν τινα βαλεῖν, δῶσι εἰς τὴν πόλιν—
δηνάρια ,ϐφ'.

60. [*Ὑπὸ* Dumont *ἀριθ. 63 - Homolle Mélanges σ. 378*].

Ρεσκουπόρεως υἱὸν ὁ δῆμος καὶ οἱ σύνεδροι τῶν ἑαυτῶν σωτῆρα καὶ εὐεργέτην

61. [*Ἐδημοσιεύθη ὑπὸ* Dumont *ἀριθ. 72 - Homolle Mélanges σ. 382*].

Ἀγαθῇ τύχῃ·
Ὑπὲρ ὑγείας καὶ νίκης τοῦ κυρίου ἡμῶν Αὐτοκράτορος καὶ αἰωνίου
διαμονῆς Λουκίου Σεπτιμίου Σε-

δήμου Περτίνακος Ἀραβικοῦ, Ἀδιαβενικοῦ καὶ Μάρκου Αὐρηλίου Ἀντωνίνου Καίσαρος καὶ τοῦ σύμπαντος οἴκου καὶ ἱερᾶς συγκλήτου καὶ δήμου Ρωμαίων καὶ βουλῆς καὶ δήμου Περινθίων νεωκόρων Μάρκος Ὥρου τὸν τελαμῶνα τῷ Βακχείῳ. Δαπανῶν ἐκ τῶν ἰδίων ὑπὲρ τῆς εἰς αὐτὸν ἀεὶ τιμῆς καὶ εὐνοίας ἀνέθηκεν ἡγεμονεύοντος Στατυλίου Βαρβάρου ἱερομνημονοῦντος Πομπωνίου Ἰουστινιανοῦ καὶ ἀρχιμυστοῦντος Μαξίμου καὶ Κλαυδίου, ἱερατεύοντος Εὐτυχοῦς Ἐπικτήτου. Εὐτυχεῖτε.

62. ***Ὑπὸ Dumont ἀρ. 33 - Homolle Mélanges σ. 333.***

Κυρίᾳ Ἥρᾳ Ἀρτακηνῇ εὐχήν

63. [***Ἐδημοσιεύθη εἰς C. I. G. ἀρ. 2023. Ἀνευρέθη εἰς τὴν πολίχνην Τυρολόην, ἀλλ' ἀνήκει εἰς τὴν Πέρινθον***].

Αὐτοκράτορα Καίσαρα Γάϊον, Μέσιον Κύϊντον, Δέκιον Τραϊανόν, Εὐσεβῆ Εὐτυχῆ Σεβαστὸν ἡ λαμπροτάτη δὶς νεωκόρος Περινθίων πόλις

64. [***Ἀνευρέθη εἰς χωρίον Σαρήκιοϊ, ἀπέχον μίαν καὶ ἡμίσειαν ὥραν τῆς Σηλυμβρίας. Ἐδημοσιεύθη εἰς Θρακικὴν Ἐπετηρίδα (1897) σελ. 295 ὑπὸ Κ. Κουρουνιώτου***]

Ἀγαθῇ Τύχῃ Αὐτοκράτορα Καίσαρα Μάρκον Αὐρήλιον Ἀντωνῖνον σεβαστὸν

ἡ βουλὴ καὶ ὁ δῆμος τῶν νεωκόρων Περινθίων

65. [***Ἐδημοσιεύθη ὑπὸ Κ. Κουρουνιώτη εἰς Θρακικὴν Ἐπετηρίδα 1897 σ. 301—302. Εὑρέθη ἐν Ἡρακλείᾳ***].

Μ. Αὐρ. Ἀλέξανδρος Εὐτυχοῦς Περίνθιος βουλευτὴς ἔθηκα τὴν σορὸν ἐκ τῶν ἐμῶν τῷ φίλῳ μου Ἐπαφροδείτῳ Ἐπαφροδείτου φυλῆς Β, εἰ δέ τις φωραθείη ἕτερον πτῶμα ἐπιβάλλων κρατηθήσεται τῷ τῆς τυμβωρυχίας νόμῳ.

66. [***Εὑρέθη ἐν Ἡρακλείᾳ. ἀνήκουσα τῷ Α. Κ. Π. Σταμούλη. Ἐδημοσιεύθη εἰς Θρακ. Ἐπετηρίδα 1897 σ. 302 ὑπὸ Κ. Κουρουνιώτη***].

Ἀρ. Ἀκακίου Ἡρακλειώτου πολίτου ἑβδόμης φυλῆς

67. [***Μετεφέρθη ἐξ Ἡρακλείας εἰς Τζεδὼ (Τσάνταν), κεχαραγμένη ἐπὶ μαρμαρίνης πλακὸς Ἐδημοσιεύθη εἰς Θρακ. Ἐπετηρίδα 1897 σ. 303 ὑπὸ Κ. Κουρουνιώτη***].

Ἀρισταινέτη Ἑρμογένους τοῦ Ἑρμογένου βουλευτοῦ θυγατρὶ ζησάσῃ ἔτη εἴκοσι δύο γυναικὶ ἰδίᾳ Ἐπιγόνου Ἀντίλοχος μνήμης χάριν.

68. [*Ἀνήκει τῷ Α. Κ. Π. Σταμούλη, εἱρεθεῖσα ἐν Ἡρακλείᾳ. Ἐδημοσιεύθη ὑπὸ τοῦ Κ. Κουρουνιώτη εἰς Θρακ. Ἐπετηρίδα 1897 σ. 304*].

Ετῶν ΙΓ
Κλαύδιος Ἀγρίππας κατεσ-
κεύασα τὸ λατόμιν
τῷ τέκνῳ μου (Αὐρηλία(
Σεβήρα, εἰ δέ τις ἕτε-
ρον βάλῃ δώσει τῇ
πόλει Χ Φ
Χαῖρε πα-
ροδεῖτα

69. [*Ἐδημοσιεύθη ὑπὸ Κ. Κουρουνιώτη εἰς Θρακ. Ἐτετηρίδα 1897 σελ. 305. Εὑρέθη ἐν Ἡρακλείᾳ. Ἀνήκει τῷ Α. Σταμούλῃ*].

Ἀντίπατρος
Στρατονείκου
ἐποίησα τὸ λα-
τόμιν ἐμαυτῷ
καὶ τῇ γυγαι-
κί μου Μαρκια-
νῇ εἰ δέ τις ἕ-
τερον βάλει δώ-
σει προστεί-
μου τῷ ταμεί-
ῳ Χ Α

70. [*Ἀνήκει τῷ εἰρημένῳ Α. Σταμούλῃ, ἀνευρεθεῖσα ἐν Ἡρακλείᾳ. Ἐδημοσιεύθη εἰς Θρακ. Ἐπετηρίδα 1897 σ 305 ὑπὸ Κ. Κουρουνιώτη*].

Χαῖρε παροδεῖτα
Ἀλέξανδρος Διοτείμου
κατεσκεύασεν ἐκ τῶν
ἰδίων τὴν στήλην καὶ τὸ
λατόμιον ἑαυτῷ καὶ
τῇ γυναικί μου Ἀθηνᾷ
ἰδίως· μηδένα ἕτερον
ἐπιβληθῆναι·
Χαῖρε.

71. [*Ἐδημοσιεύθη ὑπὸ Dumont - Homolle Mélanges σ 380*]

Γυρτάσης ζῶν καὶ φρονῶν
κατεσκεύασα τὸ λατόμι-
ον ἐμαυτῷ καὶ τῇ γλυκητάτῃ
μου συμβίῳ Αὐρ. Ἀρήτᾳ καὶ
τοῖς φωτινοτάτοις
τέκνοις· ἐὰν δέ τις τολ-
μήσει ἕτερον θέσθαι
πτῶμα δώσει τῇ πόλει δηνάρια . . .

ε') ΣΗΛΥΜΒΡΙΑΣ

72. [*Εὑρέθη ἐν Σηλυμβρίᾳ, κεχαραγμένη κάτωθι ἀναγλύφου ἰχθύος. Ἐδημοσιεύθη εἰς Θρακ. Ἐπετηρίδα τοῦ 1897 σ 298 ὑπὸ τοῦ Κ. Κουρουνιώτη. Εὕρηται παρά τινι Ὀθωμανῷ*].

Εὐξάμενος Σαλ - μβριανοῖς

73. [*Ἐδημοσιεύθη εἰς C. I. G. ἀριθ. 2032. Ἀνευρέθη πλησίον τοῦ κόλπου τοῦ Ἀθύρα*].

Αὐρηλία Βλουκία ζῶσα καὶ φρονοῦσα κατεσκεύασε τὸ
λατόμιον σὺν τῇ στήλῃ, ἐμαυτῇ καὶ τῷ γλυκητάτῳ μου
ἀνδρὶ Σατωρωνίδι ὑπομνείας χάριν, ζήσαντι ἔτη τριάκοντα
ἀμέμπτως· μηδένα ἕτερον ἐξέσται βληθῆναι ἐς αὐτό, εἰ
μὴ τὰ τέκνα μου· εἰ δέ τις κατάθηται ἕτερον
πτῶμα, δώσῃ τῇ πόλει δηνάρια ,αφ΄ Χαῖρε Παρθένα.

74. [*Ἐδημοσιεύθη εἰς Revue Archéol. (1912) σ. 263 ὑπὸ G. Seure καὶ πρότερον εἰς Θρακ. Ἐπετηρίδα 1897 σ. 303 ὑπὸ Κουρουνιώτη*].

Διογένης Κλήμεντος
βουλευτὴς Ἀγχιανέων

75. [*Ἐδημοσιεύθη ὑπὸ Κ. Κουρουνιώτη εἰς Θρακικὴν Ἐπετηρίδα 1897 σ.310, ἐγκεχαραγμένη ἐπὶ τῶν δύω ὄψεων σταθμοῦ ἀνευρεθέντος εἰς χωρίον Κιλίτσι παρὰ τὴν Σηλυμβρίαν.*

Μνᾶ	+ ἑπτ-
Περι	άλιτ-
γθία	ρονδί
	κεον

76. [*Ἐδημοσιεύθη εἰς* B. C. H. *36 (1912) σ. 549 καὶ ἐπ. ὑπὸ G. Seure, συμπληρωθεῖσα τῇ συνεργασίᾳ καὶ τοῦ Th. Homolle. Εὑρίσκεται παρὰ τῷ A. Σταμούλῃ*]

σύλαι καὶ ἐλεύθερα
οἱ ὀρφανισταὶ ζαμιόντι
. . . . . .
τοὶ στρατηγοὶ ζαμιόντι
Χίμαρον Ἐπισκόπου δραχμαῖς πεντα-
κετίαις, ὅτι τὰ ξύλα ἀπὸ τῶν τειχῶν
καὶ τὰς θύρας ἀπὸ τῶν φυλακείων
. . . . . .
. . . . τάδε ζαμιόντι τὸν . . .
δραχμαῖς δέκα ὅτι ἐνέχυρα λαζόμενος
δανεισμὸν ἀφείλετο· τοὶ ἀγοορανόμοι ἐ-
ζαμιῶσαν τὸν . . . . ὅτ ἐν
θαλάσσαι ἔπαιε καὶ τὰ φορτία ἐν τοῖς ἰχθύ-
σιν ἐπώλει δραχμαῖς δέκα . . . Μετά . . —

77. [*Ἐδημοσιεύθη εἰς* B. C. H. *36 (1912) σ. 555 ὑπὸ G. Seure*].

. . . . . [εἰς τὰ]
κοινὰ ἀναλώσαντα
καὶ γυμνασιαρχήσαντα

78. [*Ἐδημοσιεύθη ὑπὸ G. Seure εἰς* B. C. H. *36 (1912) σ. 556*].

Οἱ κατοικοῦντες ἐν Σαλυμ-
βρίᾳ στεφανοῦντι Ἡρόδω-
ρον Ἀντιαλκίδα στεφάνῳ
χρυσέῳ, κωμαρχοῦντα
ἑαυτῶν ἀπὸ ἐτέων πλει-
όνων καὶ προϊστάμενον
τῶν τε ἱερῶν καὶ τῶν δα-
μοσίων ὁσίως καὶ δικαί-
ως, εἰσευπορηκότα δὲ καὶ
[π]οθόδους τοῖς ἐγχωρίοις
. . . . διὰ παν-
. . . .

σι') BYZANTION

79. [*Ἐδημοσιεύθη εἰς Dittenberger Sylloge. Ἐκδ. Β' ἀρ. 171. Ἀνευρέθη εἰς Ὀλυμπίαν εἰς τὸν ναὸν τοῦ Διός*].

Ὁ δᾶμος ὁ Βυζαντίων
βασιλῆ Ἀντίγονον

80. [*Ἀνευρέθη οὐχὶ μακρὰν τοῦ Βυζαντίου πλησίον τοῦ ἀκρωτηρίου Ἑρμαίου, εἰς τὸν λιμένα γυναικῶν (Μπαλτᾶ λιμάν). Ἐδημοσιεύθη εἰς* C. I. G. *ἀριθ. 2034*].

Ὀλυμπιόδωρος Βεν-
δώρου στεφανωθεὶς
τᾷ λαμπάδι τῶν ἀνή-
δων τὰ Βοσπόρια τὸ
ἄθλον Ἑρμᾷ καὶ Ἡ-
ρακλεῖ.

81. [*Ἐδημοσιεύθη εἰς* C. I. G. *ἀριθ. 2038, εὑρεθεῖσα ἐν Κωνσταντινουπόλει*].

Ἀθήναιος καὶ Ἀγαθημερὶς
ὑπὲρ τῶν υἱῶν Ἀθηναίου
καὶ Παμφίλου Ἀσκληπιῷ
καὶ Ὑγιείᾳ.

